τετόλμηκεν, ὑπὲρ οὗ καὶ γνώμην βουλομένη λαβεῖν τί μοι ποιητέον ἐπέσταλκά σοι.

Τίμαρχον τὸν καλὸν οἶσθα τὸν Κηφισιᾶθεν. οὐκ ἀρνοῦμαι πρὸς τὸν νεανίσκον οἰκείως ἔχειν ἐκ πολλοῦ – πρὸς σέ μοι τἀληθῆ Λάμια – καὶ τὴν πρώτην ἀφροδίτην ἔμαθον παρ' αὐτοῦ σχεδόν· οὗτος γάρ με διεπαρθένευσεν ἐκ γειτόνων οἰκοῦσαν. ἐξ ἐκείνου τοῦ χρόνου πάντα μοι τἀγαθὰ πέμπων οὐ διαλέλοιπεν, ἐσθῆτα, χρυσία, θεραπαίνας θεράποντας, Ἰνδὰς Ἰνδούς. τἆλλα σιωπῶ. ἀλλὰ τὰ μικρότατα προλαμβάνει τῆς ὥρας, ἵνα μηδεὶς φθάσῃ με γευσάμενος. τοιοῦτον νῦν ἐραστὴν 'ἀπόκλεισον' φησὶ 'καὶ μὴ προσίτω σοι', ποίοις δοκεῖς αὐτὸν ἀποκαλῶν ὀνόμασιν; οὔτε ὡς Ἀττικὸς οὔτε ὡς φιλόσοφος, ἀλλ' ὡς φορτηγὸς ἐκ Καππαδοκίας πρῴην εἰς τὴν Ἑλλάδα ἥκων. ἐγὼ μὲν εἰ καὶ ὅλη γέμοι ἡ Ἀθηναίων πόλις Ἐπικούρων, μὰ τὴν Ἄρτεμιν, οὐ ζυγοστατήσω πάντας αὐτοὺς πρὸς τὸν Τιμάρχου βραχίονα, μᾶλλον δὲ οὐδὲ πρὸς τὸν δάκτυλον. τί σὺ λέγεις Λάμια; οὐκ ἀληθῆ ταῦτα; οὐ δίκαιά φημι; καὶ μὴ δή, δέομαί σου πρὸς τῆς Ἀφροδίτης, μή σοι ταῦτα ἐπελθέτω· 'ἀλλὰ φιλόσοφος, ἀλλὰ ἐπιφανής, ἀλλὰ πολλοῖς φίλοις κεχρημένος'. λαβέτω καὶ ἀγὼ ἔχω, διδασκέτω δ' ἄλλους. ἐμὲ γὰρ οὐδὲν θάλπει ἡ δόξα, ἀλλ' ὃν θέλω δὸς Τίμαρχον, Δάματερ.